## 78. THE FEEDING OF THE FIVE THOUSAND (Mk-Lk Identical)

| Mark 6:30-46 | Luke 9:10-17 |
|---|---|
| Καὶ συνάγονται | Καὶ ὑποστρέψαντες |
| οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, | οἱ ἀπόστολοι |
| καὶ ἀπήγγειλαν αὐτῷ πάντα | διηγήσαντο αὐτῷ |
| ὅσα ἐποίησαν | ὅσα ἐποίησαν. |
| καὶ ὅσα ἐδίδαξαν. | |
| 31 καὶ λέγει αὐτοῖς, | καὶ παραλαβὼν αὐτοὺς |
| Δεῦτε ὑμεῖς αὐτοὶ | |
| κατ ἰδίαν εἰς ἔρημον τόπον | |
| καὶ ἀναπαύσασθε ὀλίγον. | |
| ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν. | |
| 32 καὶ ἀπῆλθον ἐν τῷ πλοίῳ | ὑπεχώρησεν |
| εἰς ἔρημον τόπον κατ ἰδίαν. | κατ ἰδίαν εἰς πόλιν |
| | καλουμένην Βηθσαϊδά. |
| 33 καὶ εἶδον αὐτοὺς ὑπάγοντας | |
| καὶ ἐπέγνωσαν πολλοί, | 11 οἱ δὲ ὄχλοι γνόντες |
| | ἠκολούθησαν αὐτῷ. |
| καὶ πεζῇ | |
| ἀπὸ πασῶν τῶν πόλεων | |
| συνέδραμον ἐκεῖ καὶ προῆλθον | |
| αὐτούς. | |
| 34 καὶ ἐξελθὼν εἶδεν πολὺν | |
| ὄχλον, | |
| καὶ ἐσπλαγχνίσθη ἐπ αὐτοὺς | καὶ ἀποδεξάμενος αὐτοὺς |
| ὅτι ἦσαν | |
| ὡς πρόβατα μὴ ἔχοντα | |
| ποιμένα, | |
| καὶ ἤρξατο διδάσκειν αὐτοὺς | ἐλάλει αὐτοῖς |
| πολλά. | περὶ τῆς βασιλείας τοῦ θεοῦ, |
| | καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο. |
| 35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης | 12 Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· |
| προσελθόντες αὐτῷ οἱ μαθηταὶ | προσελθόντες δὲ οἱ δώδεκα |
| αὐτοῦ ἔλεγον ὅτι ῎ | εἶπαν αὐτῷ, |
| Ερημός ἐστιν ὁ τόπος, | |
| καὶ ἤδη ὥρα πολλή· | |
| 36 ἀπόλυσον αὐτούς, | Ἀπόλυσον τὸν ὄχλον, |

| Mark 6:30-46 | Luke 9:10-17 |
| --- | --- |
| ἵνα ἀπελθόντες εἰς | ἵνα πορευθέντες εἰς |
| τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας | τὰς κύκλῳ κώμας καὶ ἀγροὺς |
| ἀγοράσωσιν ἑαυτοῖς | καταλύσωσιν καὶ εὕρωσιν |
| τί φάγωσιν. | ἐπισιτισμόν, |
| | ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. |
| 37 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, | 13 εἶπεν δὲ πρὸς αὐτούς, |
| | |
| Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. | Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. |
| καὶ λέγουσιν αὐτῷ, | οἱ δὲ εἶπαν, |
| | Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ |
| | ἄρτοι πέντε καὶ ἰχθύες δύο, |
| Ἀπελθόντες | εἰ μήτι πορευθέντες ἡμεῖς |
| ἀγοράσωμεν | ἀγοράσωμεν |
| | εἰς πάντα τὸν λαὸν τοῦτον |
| δηναρίων διακοσίων ἄρτους | βρώματα. |
| καὶ δώσομεν αὐτοῖς φαγεῖν | |
| | 14 ἦσαν γὰρ ὡσεὶ ἄνδρες |
| | πεντακισχίλιοι. |
| 38 ὁ δὲ λέγει αὐτοῖς, | |
| Πόσους ἄρτους ἔχετε | |
| ὑπάγετε ἴδετε. | |
| καὶ γνόντες λέγουσιν, | |
| | |
| Πέντε, καὶ δύο ἰχθύας. | |
| | |
| 39 καὶ ἐπέταξεν αὐτοῖς | εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, |
| ἀνακλῖναι πάντας | Κατακλίνατε αὐτοὺς |
| συμπόσια συμπόσια | κλισίας ὡσεὶ ἀνὰ πεντήκοντα. |
| ἐπὶ τῷ χλωρῷ χόρτῳ. | |
| 40 καὶ | 15 καὶ ἐποίησαν οὕτως |
| ἀνέπεσαν πρασιαὶ πρασιαὶ | καὶ κατέκλιναν ἅπαντας. |
| κατὰ ἑκατὸν καὶ κατὰ πεντήκοντα. | |
| 41 καὶ λαβὼν | 16 λαβὼν δὲ |
| τοὺς πέντε ἄρτους | τοὺς πέντε ἄρτους |
| καὶ τοὺς δύο ἰχθύας | καὶ τοὺς δύο ἰχθύας |
| ἀναβλέψας εἰς τὸν οὐρανὸν | ἀναβλέψας εἰς τὸν οὐρανὸν |
| εὐλόγησεν | εὐλόγησεν αὐτοὺς |
| καὶ κατέκλασεν τοὺς ἄρτους | καὶ κατέκλασεν |
| καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ | καὶ ἐδίδου τοῖς μαθηταῖς |

| Mark 6:30-46 | Luke 9:10-17 |
| --- | --- |
| *ἵνα παρατιθῶσιν αὐτοῖς,* | *παραθεῖναι τῷ ὄχλῳ.* |
| *καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν.* | |
| *42 καὶ ἔφαγον* | *17 καὶ ἔφαγον* |
| *πάντες καὶ ἐχορτάσθησαν* | *καὶ ἐχορτάσθησαν πάντες,* |
| *43 καὶ ἦραν* | *καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς* |
| *κλάσματα* | *κλασμάτων* |
| *δώδεκα κοφίνων πληρώματα* | *κόφινοι δώδεκα.* |
| *καὶ ἀπὸ τῶν ἰχθύων.* | |
| *44 καὶ ἦσαν οἱ φαγόντες* | |
| *τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες.* | |
| *45 Καὶ εὐθὺς ἠνάγκασεν* | |
| *τοὺς μαθητὰς αὐτοῦ* | |
| *ἐμβῆναι εἰς τὸ πλοῖον* | |
| *καὶ προάγειν* | |
| *εἰς τὸ πέραν* | |
| *πρὸς Βηθσαϊδάν,* | |
| *ἕως αὐτὸς ἀπολύει τὸν ὄχλον.* | |
| *46 καὶ ἀποταξάμενος αὐτοῖς* | |
| *ἀπῆλθεν εἰς τὸ ὄρος* | |
| *προσεύξασθαι* | |

102 words out of 429 words = 24%